Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: mhg-aa

*Ξεναγόρας ὁ Ἱστορικός* · Xenagoras the Historian

# Chronological Fragments

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Πεζός* Prose

t1-7 ΧΡΟΝΙΚΑ. E LIBRO PRIMO.

1 (t) Schol. Apoll. Rhod. IV, 262: πάντων ἀρχαιοτάτους Αἰγυπτίους φασί· καὶ ἐν Αἰγύπτῳ πρώτην κτισθῆναι πόλιν Θήβας. Καὶ Νικάνωρ δὲ τούτοις συμφωνεῖ, καὶ Ἀρχέμαχος ἐν ταῖς Μετωνυμίαις καὶ Ξεναγόρας ἐν πρώτῳ Χρόνων. Schol. [5]

2 Apoll. Rh. IV, 264: Τινὲς δέ φασιν Ἐνδυμίωνα εὑρηκέναι τὰς περιόδους καὶ τοὺς ἀριθμοὺς τῆς σελήνης. Ὅθεν καὶ προσελήνους τοὺς Ἀρκάδας κληθῆναι· Ἀρκὰς γὰρ ὁ Ἐνδυμίων. Ἔνιοι δὲ ὑπὸ τοῦ Τυφῶνος. Ὑπὸ δὲ Ἄτλαντος Ξεναγόρας εἴρηκεν. E LIBRO TERTIO. [5]

3 (t) Macrobius Sat. V, 19: Sed et Xenagoras in tertia historia sua de loci divinatione ita scribit : Καὶ οἱ Σικελοὶ, τῆς γῆς ἀφορούσης, ἔθυσαν Πεδιοκράτει τινὶ ἥρωι, καὶ μετὰ τὴν ἐπάνοδον τῆς εὐφορίας πολλοῖς δώροις τὸν βωμὸν τῶν Παλικῶν ἐνέπλησαν. E LIBRO QUARTO. [5]

4 (t) Harpocratio: Κραυαλλίδαι· Αἰσχίνης ἐν τῷ Κατὰ Κτησιφῶντος. Δίδυμός φησι δεῖν γράφεσθαι Κραυγαλλίδαι· οὕτω γὰρ λέγεσθαι τὴν ἐν Φωκεῦσι πλησίον Κίρρας χώραν Κραυγάλλιον, ὡς καὶ Ξεναγόρας ἐν δʹ Χρόνων ἱστορεῖ. E LIBRIS INCERTIS. [5]

5 Steph. Byz.: Ἀκόντιον, πόλις Ἀρκαδίας, ἀπὸ Ἀκοντίου τοῦ Λυκάονος. Ἔστι καὶ ἑτέρα Εὐβοίας, ὡς Ξεναγόρας καὶ Ἀνδροτίων ὀγδόῃ. Dionys.

6 Hal. A. R. I, 72.: Ξεναγόρας δὲ ὁ συγγραφεὺς, Ὀδυσσέως καὶ Κίρκης υἱοὺς γενέσθαι τρεῖς, Ῥῶμον, Ἀντίαν, Ἀρδέαν· οἰκίσαντας δὲ τρεῖς πόλεις, ἀφ’ ἑαυτῶν θέσθαι τοῖς κτίσμασι τὰς ὀνομασίας. Plinius Hist. [5]

7 Nat. VII, 31, 57: Sex ordinum (naves) Xenagoras Syracusios (primos construxisse auctor est). ΠΕΡΙ ΝΗΣΩΝ.

8 Etym. M.: Σφήκεια, ἡ Κύπρος· πρότερον γὰρ Σφήκεια ἐκαλεῖτο, ὥς φησι Στέφανος (scr. Φιλοστέφανος) ἐν τῷ Περὶ Κύπρου, ἀπὸ τῶν ἐνοικησάντων ἐκεῖσε ἀνδρῶν, οἳ ἐκαλοῦντο Σφῆκες. Ἐκαλεῖτο δὲ καὶ Κεραστία, ὡς Μένανδρος ἐν τῷ Περὶ Κύπρου λέγει, διὰ τὸ ἐνοικῆσαι αὐτῇ ἄνδρας, οἳ εἶχον κέρατα· ὡς δ’ ὁ Ξεναγόρας ἐν τῷ Περὶ νήσων, διὰ τὸ ἔχειν πολλὰς ἐνοχὰς (scr. ἐξοχὰς), ἃς κέρατα καλοῦσι, Κεραστία ὠνομάσθη. Plinius V, 31, 35: (Cyprum) vocatam antea Acamantida, Philonides: Cerastin Xenagoras, et Aspeliam et Amathusiam et Macariam: Astynomus Crypton et Coliniam. [5]

10a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Harpocratio: Χύτροι ... Πόλις ἐστὶν ἐν Κύπρῳ οὕτω καλουμένη, καθά φησι Ξεναγόρας ἐν ταῖς Νήσοις. Steph.

10b Byz.: Χυτροὶ, Κύπρου πόλις, ἣν ὠνομάσθαι μὲν Ξεναγόρας φησὶν ἀπὸ Χύτρου τοῦ Ἀλέδρου τοῦ Ἀκάμαντος. Steph.

11 Byz.: Καρπασία, πόλις Κύπρου ... Ἔστι καὶ νῆσος Καρπασία κατὰ τὴν ἄκραν τὴν Σαρπηδονίαν. Ξεναγόρας δὲ Κάρπαθον αὐτήν φησι. Schol.

12 Apollon. Rh. I, 624: Σίκινος δέ ἐστι νῆσός τις πρὸ τῆς Εὐβοίας, τὸ πρότερον Οἰνοίη καλουμένη, διὰ τὸ εἶναι αὐτὴν ἀμπελόφυτον. Μνημονεύει δὲ τῆς μετονομασίας Ξεναγόρας, λέγων ὅτι μετωνομάσθη ἀπὸ Σικίνου υἱοῦ Θόαντος καὶ Νηίδος νύμφης. Schol. [5]

13a ad Lucian. Alex. c.: [ὑπὲρ τοὺς Κέρκωπας] Οὗτοι ἐν Βοιωτίᾳ διέτριβον Οἰχαλιεῖς ὄντες γένος, Σίλλος καὶ Τριβαλλὸς ὀνομαζόμενοι, ἐπίορκοι καὶ ἀργοί ..... Ἀπελιθώθησαν δὲ οὗτοι, ὡς Φερεκύδης φησί. Ξεναγόρας δὲ εἰς πιθήκους διὰ κακοήθειαν μεταβαλεῖν φησιν ἐν τῷ Περὶ νήσων. Harpocration: Κέρκωψ· Αἰσχίνης ἐν τῷ Περὶ τῆς πρεσβείας. [5]

13b Ἐν τοῖς εἰς Ὅμηρον ἀναφερομένοις Κέρκωψιν δηλοῦται ὡς ἐξαπατητῆρές τε ἦσαν καὶ ψεῦσται οἱ Κέρκωπες. Ξεναγόρας δὲ εἰς πιθήκους αὐτοὺς μεταβαλεῖν φησι, καὶ τὰς Πιθηκούσσας νήσους ἀπ' αὐτῶν κληθῆναι. Αἰσχίνης δὲ ὁ Σαρδιανὸς ἐν τοῖς Ἰάμβοις καὶ τὰ ὀνόματα αὐτῶν ἀναγράφει, Ἀνδοῦλον καὶ Ἄτλαντον. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org